9 ἄκουσόν μου, καθὰ ἐγώ σοι ἐντέλλομαι, [9]καὶ πορευθεὶς εἰς τὰ
πρόβατα λαβέ μοι ἐκεῖθεν δύο ἐρίφους ἁπαλοὺς καὶ καλούς, καὶ
10 ποιήσω αὐτοὺς ἐδέσματα τῷ πατρί σου, ὡς φιλεῖ, [10]καὶ εἰσοίσεις
τῷ πατρί σου, καὶ φάγεται, ὅπως εὐλογήσῃ σε ὁ πατήρ σου πρὸ
11 τοῦ ἀποθανεῖν αὐτόν. [11]εἶπεν δὲ Ιακωβ πρὸς Ρεβεκκαν τὴν μητέρα
αὐτοῦ Ἔστιν Ησαυ ὁ ἀδελφός μου ἀνὴρ δασύς, ἐγὼ δὲ ἀνὴρ
12 λεῖος· [12]μήποτε ψηλαφήσῃ με ὁ πατήρ μου, καὶ ἔσομαι ἐναντίον
αὐτοῦ ὡς καταφρονῶν καὶ ἐπάξω ἐπ᾽ ἐμαυτὸν κατάραν καὶ οὐκ
13 εὐλογίαν. [13]εἶπεν δὲ αὐτῷ ἡ μήτηρ Ἐπ᾽ ἐμὲ ἡ κατάρα σου, τέ-
κνον· μόνον ὑπάκουσον τῆς φωνῆς μου καὶ πορευθεὶς ἔνεγκέ
14 μοι. [14]πορευθεὶς δὲ ἔλαβεν καὶ ἤνεγκεν τῇ μητρί, καὶ ἐποίησεν
15 ἡ μήτηρ αὐτοῦ ἐδέσματα, καθὰ ἐφίλει ὁ πατὴρ αὐτοῦ. [15]καὶ λα-
βοῦσα Ρεβεκκα τὴν στολὴν Ησαυ τοῦ υἱοῦ αὐτῆς τοῦ πρεσβυτέρου
τὴν καλήν, ἣ ἦν παρ᾽ αὐτῇ ἐν τῷ οἴκῳ, ἐνέδυσεν Ιακωβ τὸν υἱὸν
16 αὐτῆς τὸν νεώτερον [16]καὶ τὰ δέρματα τῶν ἐρίφων περιέθηκεν ἐπὶ
17 τοὺς βραχίονας αὐτοῦ καὶ ἐπὶ τὰ γυμνὰ τοῦ τραχήλου αὐτοῦ [17]καὶ
ἔδωκεν τὰ ἐδέσματα καὶ τοὺς ἄρτους, οὓς ἐποίησεν, εἰς τὰς χεῖρας
18 Ιακωβ τοῦ υἱοῦ αὐτῆς. [18]καὶ εἰσήνεγκεν τῷ πατρὶ αὐτοῦ. εἶπεν
19 δέ Πάτερ. ὁ δὲ εἶπεν Ἰδοὺ ἐγώ· τίς εἶ σύ, τέκνον; [19]καὶ εἶπεν
Ιακωβ τῷ πατρὶ αὐτοῦ Ἐγὼ Ησαυ ὁ πρωτότοκός σου· ἐποίησα,
καθὰ ἐλάλησάς μοι· ἀναστὰς κάθισον καὶ φάγε τῆς θήρας μου,
20 ὅπως εὐλογήσῃ με ἡ ψυχή σου. [20]εἶπεν δὲ Ισαακ τῷ υἱῷ αὐτοῦ
Τί τοῦτο, ὃ ταχὺ εὗρες, ὦ τέκνον; ὁ δὲ εἶπεν Ὃ παρέδωκεν
21 κύριος ὁ θεός σου ἐναντίον μου. [21]εἶπεν δὲ Ισαακ τῷ Ιακωβ
Ἔγγισόν μοι, καὶ ψηλαφήσω σε, τέκνον, εἰ σὺ εἶ ὁ υἱός μου
22 Ησαυ ἢ οὔ. [22]ἤγγισεν δὲ Ιακωβ πρὸς Ισαακ τὸν πατέρα αὐτοῦ,
καὶ ἐψηλάφησεν αὐτὸν καὶ εἶπεν Ἡ μὲν φωνὴ φωνὴ Ιακωβ, αἱ
23 δὲ χεῖρες χεῖρες Ησαυ. [23]καὶ οὐκ ἐπέγνω αὐτόν· ἦσαν γὰρ αἱ
χεῖρες αὐτοῦ ὡς αἱ χεῖρες Ησαυ τοῦ ἀδελφοῦ αὐτοῦ δασεῖαι·
24 καὶ ηὐλόγησεν αὐτόν. [24]καὶ εἶπεν Σὺ εἶ ὁ υἱός μου Ησαυ; ὁ
25 δὲ εἶπεν Ἐγώ. [25]καὶ εἶπεν Προσάγαγέ μοι, καὶ φάγομαι ἀπὸ τῆς
θήρας σου, τέκνον, ἵνα εὐλογήσῃ σε ἡ ψυχή μου. καὶ προσήγαγεν
26 αὐτῷ, καὶ ἔφαγεν· καὶ εἰσήνεγκεν αὐτῷ οἶνον, καὶ ἔπιεν. [26]καὶ
εἶπεν αὐτῷ Ισαακ ὁ πατὴρ αὐτοῦ Ἔγγισόν μοι καὶ φίλησόν με,
27 τέκνον. [27]καὶ ἐγγίσας ἐφίλησεν αὐτόν, καὶ ὠσφράνθη τὴν ὀσμὴν
τῶν ἱματίων αὐτοῦ καὶ ηὐλόγησεν αὐτὸν καὶ εἶπεν

Ἰδοὺ ὀσμὴ τοῦ υἱοῦ μου
ὡς ὀσμὴ ἀγροῦ πλήρους, ὃν ηὐλόγησεν κύριος.

8 σοι εντελλ. 911] tr. A || 15 ενεδυσεν 911] pr. και A || 18 πατερ 911] + μου A || 19 ιακωβ] + ο υιος αυτου A† || 20 σου M] > A || 22 μεν 911] > A || 25 ινα] οπως A† | προσηγαγεν 911] -ηνεγκεν A